# ΚΕΡΚΥΡΑΪΚΑ.

## Ἰωάννης Ἀπόκαυκος καὶ Γεώργιος Βαρδάνης.

Εἰς πλειοτέραν ἐκτίμησιν καὶ τοῦ βίου καὶ τοῦ χαρακτῆρος τοῦ ἤδη γνωστοῦ ἐν τῷ 13-ῳ αἰῶνι λογίου μητροπολίτου Κερκύρας Γεωργίου Βαρδάνη [1]) παρατιθέμεθα ἐνταῦθα δέκα τέως ἀνέκδοτα γράμματα, ὧν δύο μὲν εἶναι αὐτοῦ τοῦ Βαρδάνη (ἀριθ. 4 καὶ 7), πάντα δὲ τὰ λοιπὰ τοῦ χειροτονήσαντος αὐτὸν Κερκύρας ἀρχιεπίσκοπον Ἰωάννου τοῦ Ἀποκαύκου. Εὑρίσκονται δὲ ἀντιγεγραμμένα ἐν διαφόροις τόποις τοῦ γνωστοῦ κώδικος Ἰσαὰκ μοναχοῦ τοῦ Μεσοποτάμου (κῶδ. Πετρουπ. 250), περὶ οὗ πολλάκις ἐν ἄλλοις τόποις ἐγένετο παρ' ἡμῶν ὁ προσήκων λόγος.

Ἀριθ. 1 μεταξὺ τῶν φύλλων $20^b$—$21^a$.
Ἀριθ. 2 » » σελίδων $21^a$—$21^b$.
Ἀριθ. 3 » » » $29^a$—$29^b$.
Ἀριθ. 4 ἐν τῷ φύλλῳ $31^b$.
Ἀριθ. 5 » » » $31^b$.
Ἀριθ. 6, τεμάχιον ἐν τῷ φύλλῳ $37^b$.
Ἀριθ. 7, ἀκέφαλον γράμμα ἐν τῷ φύλλῳ $42^a$.
Ἀριθ. 8 μεταξὺ τῶν φύλλων $36^a$—$37^b$.
Ἀριθ. 9 » » » $44^b$—$45^a$.
Ἀριθ. 10, ἀκέφαλον γράμμα ἐν τῷ φύλλῳ $50^a$.

---

1) Περὶ τοῦ Βαρδάνη κατ' ἔκτασιν ὅρα Ἀ. Μουστοξύδου Delle cose Corciresi. Corfu 1848, τ. 1, σ. 423—439. Αὐτόθι (σ. L—LVII) καὶ ἓν γράμμα τοῦ Βαρδάνη πρὸς τὸν Κ/πόλεως πατριάρχην Γερμανὸν 2-ον, καὶ χρυσόβουλλον Θεοδώρου Κομνηνοῦ Δούκα περὶ τῆς μητροπόλεως αὐτοῦ. Ὁ βίος τοῦ Βαρδάνη συμπληροῦται διὰ τῶν ἐκδοθέντων γραμμάτων Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου καὶ Ἰωάννου τοῦ Ἀποκαύκου (ὅρα Χωνιάτου τὰ σῳζόμενα, ἐκδ. Λάμπρου τ. 2, σ. 268, 282—289, 311, 314—319. Β. Γ. Βασιλειέφσκι Epirotica saeculi XIII ἐν τοῖς Βυζαντινοῖς Χρονικοῖς, τ. 3, σ. 248—263, 270), ἅτινα ἐπωφελήθη ἐπαρκῶς ὁ μακαρίτης Ἀ. Μηλιαράκης (Ἱστορία τοῦ βασιλείου τῆς Νικαίας καὶ τοῦ δεσποτάτου τῆς Ἠπείρου, σ. 199—205, 221—230). Ἰδὲ καὶ Β. Γ. Βασιλείφσκιν ἐν τῷ Журналъ Мин. Нар. Пр. Часть CCXXXVIII, 1885, τεῦχος Ἀπριλίου, σ. 224—233. Ed. Kurtz, Georgios Bardanes, Metropolit von Kerkyra, ἐν τῇ Byzant. Zeitschrift, 1906, τ. 15, σ. 603—613.

1.

Ἐρώτησις ἐπενεχθεῖσα τῷ ἁγιωτάτῳ μητροπολίτῃ Ναυπάκτου καὶ τοῖς ὑπ' αὐτὸν ἐπισκόποις παρὰ τοῦ μητροπολίτου Κερκύρων κῦρι Γεωργίου τοῦ Βαρδάνη περὶ ἱερέως τινὸς Κερκυραίου ἐγκλήματι ἀ⟨κο⟩υσίῳ[1]) περιπεσόντος, καὶ λαβοῦσα λύσιν παρὰ τῆς αὐτοῦ ἁγιότητος.

✝ Ὁ ἁγιώτατος μητροπολίτης Κερκύρων, ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν κῦρι Γεώργιος, συνηγμένων ἡμῶν ἔν τινι τῶν κατὰ τὴν Ἄρταν φροντιστηρίων, τοιοῦτόν τι ἐπὶ κοινοῦ προετείνατο. Ἐπὶ τῶν ἡμερῶν, φησί, τοῦ πρὸ αὐτοῦ ἁγιωτάτου μητροπολίτου κῦρι Βασιλείου τοῦ Πεδιαδίτου σκληρὰ λιμὸς τῇ Κερκύρᾳ ἐνέσκηψε καὶ ὑπ' αὐτῆς πολλοὶ διεφθάρησαν[2]). Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἱερεὺς τῆς κατ' αὐτὸν Ἐκκλησίας, ὄνομα ὁδεῖνα, ἐπωνύμιον τὸ δεῖνα, τῆς ἑαυτοῦ οἰκίας ἐπαναστὰς ὁδόν που κατὰ χρείαν ἐστείλατο κἀκεῖ διημέρευσεν. Εἶτα νόστου μνησθείς, διὰ πολυξύλου ἐβάδιζεν ἀτραποῦ· ὡς δὲ ἥλιος ἔδυ καὶ σκότος ἐπῆλθε καὶ αὐτὸς οὐκ ἤνυσε τὴν ὁδόν, οὐδὲ τῇ ἑαυτοῦ κατοικίᾳ ἐγένετο ἔνοικος, εἰς δέος κατέστη, μήπου καὶ νὺξ καὶ τὸ ἀμφιλαφὲς τῆς ὁδοῦ, ἡνίκα καὶ μᾶλλον τὰ θηρία διέρχεται, ὄλεθρον αὐτῷ ἐπαγάγωσιν. Ἀλλ' ἐν τούτοις ὤν, φησίν, ὁ πρεσβύτερος ὅμως ἐβάδιζε νυκτὶ καὶ φόβῳ στενοχωρούμενος· καὶ κατὰ σύμβαμα[3]) οὕτω νεανίσκῳ περιτυχών, κειμένῳ ἐν τῇ ὁδῷ, ἐβοηθήθη ὥσπερ ἐκ τῆς τούτου εὑρέσεως καὶ ἀνέθαλεν καὶ εἰς ὁδηγίαν διαναστῆναι παρεκάλει τὸν κείμενον. Ὁ δὲ παῖς ἐκεῖνος εἴτε ταλαιπώρως ἔχων ἐκ τοῦ λιμοῦ, εἴτε καὶ τὸ κατὰ νύκτα βαδίζειν ἀποπεμπόμενος, ἀνήκουστος ἦν τῷ πρεσβυτέρῳ παντάπασι· καὶ ὅς, νυκτὸς πορείας καὶ φόβου σπεύδων ἀπαλλαγῆναι, τὸν νεανίσκον ἐκεῖνον διεγείρων εἰς ὁδηγίαν, τῇ μετὰ χεῖρας ῥάβδῳ λεπτῇ, ὑφ' ἧς ἐστηρίζετο, δὶς καὶ τρὶς ἔτυψεν, ὡς οὕτω προηγὸς ἐσεῖται τῷ ἱερεῖ τῆς ὁδοῦ· καὶ τὸ ἐντεῦθεν ὁ μὲν ἱερεὺς κατέλαβεν οἴκοι, ὁ δὲ παῖς καὶ αὐτὸς ἐπανελθὼν πρὸς τὰ ἑαυτοῦ μεθ' ἡμέρας εἰκοσί που καὶ ὀκτὼ τὸν βίον ἀπέλιπεν. Ταῦτα, φησί, πεσόντα εἰς ἀκοὰς τῷ μητροπολίτῃ ἐκείνῳ διὰ τῆς ἐκείνου γλώσσης, ἱεροπραξίας ἁπάσης τῷ ἱερεῖ ἐγένετο κώλυσις, οὐκ ἤδη δὲ καὶ καταδίκη τελεία, τοῦ μηκέτι τοῦτόν ποτε ἐνεργῆσαι

1) Ἡ λέξις ἐφθαρμένη ἐν τῷ κώδικι.

2) Περὶ Βασιλείου Πεδιαδίτου ὅρα Σ. Π. Λάμπρου Κερκυραϊκὰ ἀνέκδοτα. Ἐν Ἀθήναις 1882, σ. 42—49. Pitra, Analecta sacra et profana, τ. 6, σ. 39—48. Ἀ. Δημητρακόπουλος, Ἐπιστολὴ τοῦ Κερκύρας Βασιλείου ἐν «Ἐθνικῷ Ἡμερολογίῳ» Μ. Βρετοῦ. Ἐν Παρισίοις 1870, σ. 187—192. Ἰωάν. Ἀποκαύκου ἐπιστολὴ περὶ Βασιλείου πρὸς Θεόδωρον Κομνηνόν, ἐν τοῖς Βυζαντινοῖς Χρονικοῖς, τ. 3, σ. 253—254. Πρβλ. Ἀ. Μηλιαράκη Ἱστορ. τοῦ βασιλείου τῆς Νικαίας. Ἐν Ἀθήναις 1898, σ. 186—188.

3) Ἐν τῷ κώδ. κατασύμβαμα.

τὰ ἱερέων, ἀλλ', ὡς οἱ πολλοὶ τῶν αὐτίκα παρατυχόντων μαρτύρονται, ἐφ' ἡλίου δρόμῳ ἑνὶ καὶ πεντάδι χρόνων διπλῇ. Ἀλλ' ὁ μὲν μητροπολίτης ἀπεβίω, φησίν, ὁ δέ γε ἱερουργὸς καὶ τρεῖς πρὸς τοῖς ἕνδεκα ἤδη ἐλαύνει τῶν ἱερατικῶν ἁπάντων ἐνεργημάτων σχολάζων.

Ταῦτ' ἐξηγήσατο, καὶ ἠρώτησε περὶ τοῦ ποιητέου [1]) ἐπὶ τούτῳ τῷ ἱερεῖ· καὶ ἀπεκρινάμεθα, ὡς οὐ κατὰ ἀκρίβειαν ὁ μητροπολίτης ἐκεῖνος τὸν ἱερέα ἐπέσχε, καί τοι τἄλλα ὢν ἀκριβὴς καὶ γνώσεως μέτοχος. Εἰ μὲν γὰρ ἑκούσιον φόνον ἢ ἀκούσιον κατέγνω τοῦ ἱερέως, οὐκ ἔδει ἐπὶ χρόνοις ῥητοῖς τοῦ ἱεροπρακτεῖν σχολάσαι αὐτόν, ἀλλὰ πάντως καὶ καθελεῖν· εἰ δ' ἀμφιβόλως ἔσχεν ἡ πρᾶξις καὶ ἀνέλεγκτος ἐγεγόνει τοῦ νεανίσκου ὁ θάνατος, μὴ τόσον ἐπενεγκεῖν τῷ πρεσβυτέρῳ κατάκριμα, καθότι ἐν τοῖς ἀμφιβόλοις καὶ ἀνελέγκτοις οὐ μερικῶς οὐ καθόλου δεῖ ἀποφαίνεσθαι, ἕως τὸ φέγγος τῆς ἀληθείας διαφωτίσει τὸ ζήτημα. Καὶ δέον εἶναι διέγνωμεν καὶ τὸν περὶ οὗ ὁ λόγος πρεσβύτερον λυθῆναι μὲν τοῦ δεσμοῦ, οὐκ ἄνευ δὲ διαστολῆς τινος καὶ ἐνδοιασμοῦ, ἀλλὰ μετακαλέσασθαι τοῦτον ἐπὶ παντὸς τοῦ πρεσβυτερίου καὶ ἀναφωνῆσαι αὐτῷ ἐπὶ τῷ συνειδότι αὐτοῦ τὸν ἀπὸ τῆς ζωαρχικῆς Τριάδος ἀφορισμὸν περὶ τῆς ἀκουσθείσης κατ' αὐτοῦ ὑποθέσεως, ὡς ἂν ἐπὶ τῇ πράξει τῶν ἱερατικῶν καὶ τῇ ἀπραξίᾳ ποιήσῃ κατὰ τὴν τοῦ ἰδίου ἔνδον κριτηρίου διάθεσιν, καὶ τὸ ἀπ' ἐκείνου [2]) τὸν μὲν ἱερέα τὰ ἑαυτοῦ ἐνεργεῖν, τὸν δὲ μητροπολίτην ἀπαλλαγῆναι πραγμάτων, ὡς τὸν θεὸν καὶ τὴν τοῦ πρεσβυτέρου συνείδησιν κριτὰς ἐπὶ τῷ ἀκούσματι ἐκείνῳ καθίσαντα. Μηνὶ Μαρτίῳ ἰνδικτιῶνος ι' (=1222).

## 2.

Μηνὶ καὶ ἐπὶ παρουσίᾳ +

Νόμοις τὸν ἀνθρώπινον βίον οἱ νομοθέται κατησφαλίσαντο, καὶ διὰ τούτων μὲν κακίαν καὶ πονηρίαν κολάζουσι, δι' ἑτέρων δὲ δίκας διευκρινοῦσι καὶ δικαστηρίων ἀκολουθίαν ἐκτίθενται· ἐν ἄλλοις οὑτινοσοῦν τῶν πραγμάτων νομὴν παραμόνιμον τῷ νεμομένῳ χαρίζονται, ἐν δὲ τούτοις τούτου μὲν ἀφαιροῦνται καὶ πρὸς ὃν ἡ δίκη ῥέπει [3]) ταύτην μεταβιβάζουσιν. Καὶ μακρὸν ἂν εἴη νόμους πάντας ἄρτι παρεισκυκλεῖν καὶ πάντα πράγματα καταλέγειν ἐφ' οἷς αὐτοὶ μὲν ἐγράφησαν, τὰ δὲ ὑπὸ τούτων ἐπιδεξίου [4]) καὶ

---

1) Ἐν τῷ κώδ. τὸ ποιητέον.
2) Ἐν τῷ κώδ. ἀπεκείνου.
3) Ἐν τῷ κώδ. ῥέπῃ.
4) Ἐν τῷ κώδ. ἐπὶ δεξίου.

ἀρίστης ἐπιτυγχάνουσι τῆς ἐκβάσεως. Πᾶσαν δὲ περίληψιν νόμου εἴ τις ἐθέλει σκοπεῖν, δικαιοσύνης εὕρῃ πάντως μητέρα καὶ διδάσκαλον ἀκριβῆ τῆς ἐπὶ τοῖς πρακτέοις ὀρθότητος· ταῦτα δὲ εἰρήνης μὲν πρόξενα, ταράχου δὲ καὶ διχοστασίας πολέμια. Οἶμαι δέ, ὡς οἱ νομοθέται ἐκεῖνοι πρὸς τὸ πέλαγος ἀπιδόντες τῶν ἀνθρωπίνων πραγμάτων καὶ ὡς ἄλλοτε ἄλλα τῷ πολυκύμονι τούτῳ βίῳ ταῦτα ἐγείρονται, καὶ πολύτροπά τινα τὰ βιωτικὰ νενοηκότες ἐπισυμβάματα, καὶ ἀποκναίσαντες ὡσανεὶ νόμοις καὶ ταῦτα πάντα περιλαβεῖν τε καὶ ἀσφαλίσασθαι, πολλὰ τῶν πραγμάτων ἀφῆκαν ταῖς τοπικαῖς συνηθείαις διακρατεῖσθαι καὶ ἔθεσι. Καὶ τὸ κατάλειμμα τοῦτο οὐκ ἀφώνως παρῆλθον, οὐκ ἀλαλήτως παρέδραμον, ὡς μὴ τῷ ἀνομοθετήτῳ τάχα ἄλλοτε ἄλλως, παρ' οἷς τὸ βούλημα καὶ τὸ προαιρούμενον ἀστατεῖ, παίζηταί τε καὶ μεταφέρηται, ἀλλὰ καὶ τ⟨ῶν⟩ συνηθειῶν καὶ ἐθῶν ἐν μέρει ταῦτα τούτοις νενομοθέτηται. Φασὶ γὰρ ἐν βιβλίῳ τῶν Βασιλικῶν δευτέρῳ, τίτλῳ α', κεφαλαίῳ λβ' καὶ ἐφεξῆς ταῦτα· «Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν[1]) δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰ δὲ καὶ τοῦτο ἐκλείπει [2]), ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ· εἰ δὲ μὴ ταῦτα εὑρίσκηται, τότε τὸ νόμιμον, ᾧ τινι ἡ Ῥώμη κέχρηται, φυλάττειν δεῖ». Καὶ μεθ' ἕτερα· «Καὶ ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται». Τῶν δ' αὐτῶν ὑπάρχει νομοθετῶν καὶ τὰ κατωτέρω· «Καὶ ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος». Καὶ «τότε κεχρήμεθα τῇ συνηθ⟨είᾳ⟩ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη». Καὶ «τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα καὶ ἐπὶ πολ⟨λοὺς⟩ ἐνιαυτοὺς φυλαχθέντα οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν, ὡς τοσοῦτον δοκιμασθέντα, ὥστε μὴ δεηθῆναι ἐγγράφου» [3]).

Ἀλλὰ ταῦτα μὲν περὶ συνηθειῶν καὶ ἐθῶν τοῖς νομοθέταις ἀναπεφώνηται· ὁ δὲ τοῦ λόγου σκοπὸς τήν τε πρότασιν ἀπάρτι σαφηνιεῖ καὶ ὅτου χάριν τῶν νομοθετημάτων τούτων ἐμνήσθημεν γνωριεῖ.

Ὁ πανσέβαστος σεβαστὸς κῦρις Ἀλέξιος ὁ Πεδιαδίτης, ᾧ Κερκυραία μὲν γαμετὴ καὶ τῶν τὰ πρῶτα τῆς νήσου (Κέρκυρα δὲ καὶ τούτῳ διὰ τὴν γυναῖκα ἡ πόλις, ἤδη δὲ καὶ δευτέρα κατὰ μετοικεσίαν πατρίς), ἐθιμόν τι Κερκυραῖον οὕτω συμβάν, ἡμῶν τε συνειλεγμένων καὶ τῶν ἄνωθεν συνεδριαζόντων, ἐπὶ κοινοῦ προετείνατο καὶ ἀπολογίαν ἐζήτησε· τὸ δὲ ἔθος τοιοῦτον. Ἐν τῇ νήσῳ, φησί, Κερκύρᾳ πολλοὶ τῶν οἰκητόρων ἔκπαλαι χρόνου τῷ τῆς ἡμετέρας μητροπολίτῃ προσέρχονται καὶ τόπον ἐκκλησια-

1) Ἐν τῷ κώδ. παραφυλάττει.
2) Ἐν τῷ κώδ. ἐκλάπει.
3) Βασιλικῶν β', τίτλ. α', §§ μα' — με' (ἐκδ. Heimb. 1, σ. 39).

στικὸν ἐξαιτοῦνται εἰς ἀμπελῶνος τυχὸν καταφύτευσιν ἢ χρῆσιν ἑτέραν τὴν δοκοῦσαν αὐτοῖς· καὶ τὸν μὲν τόπον λαμβάνουσι, κατὰ ἔθος δέ, καὶ τοῦτο ἐγχώριον, τόπον ἄλλον οἰκεῖον διπλοῦν ἀνθ' ἁπλοῦ[1]) τοῦ ἐκδιδομένου τῇ Ἐκκλησίᾳ διδόασι· καὶ τὸ ἀντάλλαγμα τοῦτο οὐ παρ' ἑνός, φησί, τῶν οἰκητόρων, ἀλλ' οὐδὲ δύο, ἀλλ' οὐδὲ μέχρι τῶν δέκα ἡ τῶν ἐκληπτόρων ποσότης, ἀλλὰ πολλοὶ καὶ πολλάκις καὶ κατὰ περιόδους χρόνων μακρὰς ἁπλᾶ τὰ γήδια ταῦτα παρὰ τῆς Ἐκκλησίας λαμβάνοντες διπλᾶ τὰ παρ' αὐτῶν ἀντεισφέρουσι. Τῷ ἔθει γοῦν τούτῳ, φησί, καὶ αὐτὸς ἐξακολουθήσας, τόπον τῆς Ἐκκλησίας τινὰ εἰς ἁπλοῦν ἐκλαβόμενος, διπλοῦν τῷ μέρει ταύτης ἀντέδωκα· καὶ τὸν μὲν τόπον εἰς ἀμπελῶνα ἐφύτευσα, ἐρωτῶ δὲ ὅμως, εἰ δίκαιον τὴν δόσιν ταύτην καὶ τὴν ἀντίδοσιν ἔχειν τὸ κῦρος καὶ τὴν τοῦ ἀμπελῶνος τούτου νομὴν ἐμοί τε καὶ τοῖς ἐξ ἐμοῦ καὶ τοῖς κατὰ σειρὰν ἐξ ἐκείνων κατὰ νομὴν καὶ κάρπισιν[2]) ἀδιάδοχον παντὶ τῷ γένει παραφυλάττεσθαι.

Καὶ ἀπεκρινάμεθα, ὡς «Καὶ πρὸ ἡμῶν ἀπολογοῦνταί σοι περὶ τούτου τὰ ἀνωτέρω καταγραφέντα κεφαλαῖα νόμιμα, καὶ πλέον ἐκείνων τοῦτο τὸ νομικόν, τὸ φάσκον: ἔνθα καὶ τὸ ἔθος ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ, καὶ καθεξῆς τὰ λοιπὰ τῶν νομίμων, ὧν ἀνεμνήσθημεν». Καὶ διέγνωμεν καὶ ἀπεφηνάμεθα δίκαιον εἶναι καὶ παρὰ μὲν τῷ Πεδιαδίτῃ τούτῳ καὶ τοῖς ἐκ τούτου κατὰ διαδοχὴν τὸν ἀμπελῶνα τοῦτον εἰς χρῆσιν διηνεκῆ καὶ ὁμοίαν εἶναι τὴν κατοχήν, κατὰ τὴν τῆς χώρας δηλονότι ἀρχαίαν, ὡς ἐξεῖπε, καὶ παλαιτάτην συνήθειαν· τὰ δέ γε ἐρωτηθέντα καὶ τὴν ἐπὶ τούτοις ἡμετέραν διάγνωσιν καὶ ἀπόκρισιν τῷ παρόντι διελάβομεν σημειώματι καὶ παρεκβαλόντες ἐπιδεδώκαμεν. Μηνὶ καὶ ἰνδικτιῶνι <τοῖς προγεγραμμένοις>.

## 3.

## Πρὸς τὸν Κερκύρας, τὸν Βαρδάνην.

Μετὰ τὸ συντάξασθαί σε τῇ ἐμῇ βραχύτητι τὰ ἐς Κέρκυραν, τριταῖον φέγγος ἐν Ἄρτῃ παρέμεινα καὶ νόστου μνησθεὶς τὴν θαλασσολίμνην, ἥτις Ἄρταν καὶ Ἀπρακίαν διείργει (Κεστρίδα[3]) ταύτην ὁ πάλαι κατωνόμαζεν[4]) ἄνθρωπος, καὶ πειστέον[5]) ἱστοροῦντι τῷ Στράβωνι)[6]), οὕτω πειθόντων τῶν

1) Ἐν τῷ κώδ. ἀνθαπλοῦ.
2) κάρπισιν] οὕτως ἐν τῷ κώδικι.
3) Ἐν τῷ κώδ. καὶ στρίδα.
4) Ἐν τῷ κώδ. κατονόμαζεν.
5) Ἐν τῷ κώδ. πιστέον.
6) Οὐδὲν λέγει περὶ τούτου Στράβων· περὶ δὲ Κεστρίδος ὅρα τὰς εἰς Σκύλακα σημειώσεις τοῦ C. Müller, Geogr. graeci minores, τ. 1, σ. 33, § 26.

νοσημάτων, θαλασσοπόρος διέβαινον· μὴ ἐχόντων γὰρ τῶν ποδῶν ἐν μὲν τῶν ὀρέων κατάντει στερρότερον ἀντιβαίνειν περὶ τὰ κυκλικὰ τῆς ἐφεστρίδος σιδήρια καὶ ἀνέχειν οὕτω τὸ σῶμα, ὡς μὴ πρὸς τὸ κατωφερὲς ὀλισθαίνειν διὰ τὸ περὶ ταῦτα ἀνέδραστον, ἐν τῷ ἀνάντει δὲ καὶ τῷ ὁμαλεῖ τῶν ἰσχίων ἐν τῇ ἐφεστρίδι συνθλιβομένων ἐκ τῆς περὶ τὰ γλουτά[1]) ἀσαρκίας, ἔγνων δεῖν θαλασσοπορεῖν. Καὶ μικροῦ ἂν ὕδωρ τε ἁλμυρὸν ἔπιον καὶ κατὰ τὸν σὸν ἐξαπόλωλα Ὅμηρον[2]), ὅτι τὴν ἡμέραν ἐκείνην «ἐν ἀνέμῳ νότῳ βιαίῳ»[3]) τὴν θάλασσαν ἐπάταξεν ὁ θεός, εἰ μὴ αὐτὸς ὁ καὶ τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις ἐπιτιμῶν[4]) τοῦ ναυαγίου περιεσώσατο. Ἀνύσας δὲ τὴν πορείαν ἐκεῖθεν καὶ τῶν κτημάτων τῆς μητροπόλεως εἰς ἓν παραγγείλας, ταῖς ἀπ' αἰῶνος ποδαλγικαῖς ἀρρωστίαις καὶ ταῖς ἐσύστερον ἐσομέναις εἰς μίαν τὴν ἐμὴν συνελθούσαις μετὰ τὴν ἐκεῖ κατάλυσιν περιέπεσον· καὶ ἐκακώθην ὑπ' αὐτῆς, καὶ ἐταπεινώθην καὶ ἔτι κακύνομαι, καὶ τόσον μοι τὸ ἐκ ταύτης ἐπέβρισεν ἀλγεινόν, ὡς καὶ τῶν ἐμῶν σαρκῶν ἅπτεσθαι καὶ καταμασᾶσθαι[5]) βραχίονας τῷ βάρει τῶν ὀδυνῶν· πώγωνα δὲ τίλλων καὶ πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκων τὰς χαίτας ἐψίλωσα ἂν τὰ ἄμφω ταῦτα ἀργύρεα, εἰ μὴ χειροκρατοῦντές με οἱ ἐμοὶ ἀπρακτεῖν τὰς χεῖρας ἐβίαζον. Ἰσχνάσθην δὲ ἐς τοσοῦτον, ὡς μηδὲν σκιᾶς διαφέρειν, καὶ ἄν που εἶδες σκιαγραφίαν ἐν γραφικῇ [6]), ἣν ὤχρα μὲν περιέγραψεν μόνη, ζωγράφος δὲ οὔπω ταύτῃ χεῖρα πρώτην καὶ δευτέραν καὶ τρίτην ἐπέβαλεν εἰς ἐντέλειαν, ταύτην ἴσθι εἶναι ἐμέ. Ἤδη δέ μοι καὶ ὁ ἱμὰς ὁ περὶ τὰ αἰδοῖα τὴν ἀναξυρίδα ξυνδέων, τῆς εὐσαρκίας ὑποτακείσης [7]), κατολισθαίνει περὶ μηρούς· καὶ τῶν μὲν ὑγιαινόντων οἱ πόδες ἐν εἰσοχαῖς ὁρῶνται καὶ ἐξοχαῖς· τὰ γὰρ ἄνω μικρὸν περὶ τὰ σφυρὰ ἐν εἰσοχῇ πάντως καὶ ὡς οὕτω φάναι λιπόσαρκα[8])· εἰ γὰρ ταυτὶ κατεσάρκωτο, ἦν ἂν οὐκ εὐπετὴς τῷ ζῴῳ ἡ κίνησις· κνήμη δὲ ποδὸς ἐξοχή, ἐπαίρει γὰρ ταύτην ἡ κατὰ μέρος ἐκεῖσε στοιβὴ τῆς σαρκός· γόνυ δὲ ἀλλὰ καὶ αὐτὸ ξηρόν τε καὶ ἄσαρκον, ὡς πρὸς τὰς κάμψεις μὴ ἐμποδίζοιτο, καὶ εἰσοχὴ περὶ τοῦτο ἅμα καὶ ἐξοχή· τὸ γὰρ ἄνω τούτου ἐξέχει, τὸ δ' ὑποκάτω[9]) κοιλαίνεται· μηροῖς δὲ ὅσον ἀνατρέχει πρὸς τὰ γλουτὰ τοῦ γόνατος ἀπαρχόμενον, ἐκ λεπτοτέρου τού-

1) Ἐν τῷ κώδ. γλουττά· οὕτω καὶ κατωτέρω μὲ διπλοῦν ταῦ.
2) Ὀδυσσ. δ, 511.
3) Πρβλ. Ἐξόδ. ιδ', 21.
4) Πρβλ. Ματθ. η', 26.
5) Ἐν τῷ κώδ. καταμασσάσθαι.
6) Ἐν τῷ κώδ. ἐγγραφικῇ.
7) Ἐν τῷ κώδ. ὑποτακήσης.
8) Ἐν τῷ κώδ. λειπόσαρκα.
9) Ἐν τῷ κώδ. ὑπὸ κάτω.

του συνανατρέχον πρὸς τὸ παχύτερον, καὶ τοῦτο τὸ μέρος τοῖς γλουτοῖς συναναπτόμενον ἄλυπον τῷ ζώῳ παρέχεται τὴν καθίδρυσιν. Ἐμοὶ δὲ οἱ πόδες ἀποσαρκωθέντες ἐξ ἀρρωστίας [1]) ἰσοπαχέσι καλαμίσκοις ἐοίκασι· καὶ οὐ μηρὸς ἐν τούτοις, οὐ κνήμη, εἰ μὴ ὅσον τὰ σχήματα· καὶ συνδέουσί μου τοὺς πόδας τὰ περὶ τὸ γόνυ ἄρθρα καὶ τὰ σφυρά, καθά που καὶ τοὺς τῶν καλάμων αὐλίσκους αἱ ζῶναι οὖσαι συνδετικαὶ τῆς [2]) ἐν ἐκείνοις κενότητος. Ἀπεβαλλόμην δὲ μικροῦ καὶ τὸ μεταβατικὸν ἕως εἰς ἑνδεκάτην Μαΐου, ἐν ᾗ καὶ τὸ παρὸν γραμμάτιον ἐσχεδίασται. Εἰ οὖν ἐγερτηρίους ἔχεις εὐχάς, ἢ καὶ πνεῦμα ζωοποιὸν ἐκ τῆς ἐνούσης σοι τετραμερείας τῶν ἀρετῶν, τούτῳ τῷ κειμένῳ ἐπίπνευσον, καὶ φανήσονται νεῦρα, καὶ ἀναβήσονται σάρκες [3]), καὶ κινηθήσεται ὁ ἡμίνεκρος. Λυπηρὰ μὲν οὖν ταῦτα φίλῳ κατὰ σὲ καὶ δεσπότῃ, ἀλλ' οἶδα ὡς οἰκειοῖ τὰ τῶν φίλων εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, καὶ χαίρειν μετὰ χαιρόντων [4]) μαθὼν διὰ τὸ ἐκ φιλίας ἑνωτικόν· οἶδα ὅτι καὶ κλαύσεις μετὰ κλαιόντων διὰ τὸ ἐν ψυχῇ συμπαθές. Εἶτ' οὐ θαυμάζεις, ὅτι καὶ ὅλως λαλῶ, οὗ καὶ ἡ πνοὴ καὶ ἡ φθογγὴ παρακέκοπται; Ἀλλ' ἐγὼ μὲν κἀνταῦθα τῶν ἐμῶν σπερμάτων δρέπομαι τοὺς καρπούς, κἀκεῖθεν τὸ ἐξ ἁμαρτίας ἐπιθερίσω γεώργιον· σοὶ δὲ τῷ νησιώτῃ μὴ τὸ μέσον ἀμφοτέρων χάσμα κωλύμη γένηται τοῦ παρὰ σοῦ δροσισμοῦ τοῖς κεκαυμένοις τῇ νόσῳ, ἀλλ' ἄκρῳ δακτύλῳ παραμυθίας ἐπιστάξας νοτίδα (δακτύλῳ γὰρ χαριζόμεθα κάλαμον) ἐπίπεμψον τῷ κατεψυγμένῳ τὸν παρακλητικὸν δροσισμόν, καὶ ὡς τὰ προφητικὰ οἰκειώσομαι [5]), ἀπολώλειν, διαπεφωνήκειν καὶ ξηρά μοι τὰ τῆς ἐλπίδος. Καὶ ζῆθι ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρα μακρὰ τεθήλῃ, καὶ οἴκει μὲν νήσῳ ἐν ἀμφιρύτῃ [6]), καὶ ἁγίαζε καὶ ταύτην καὶ θάλασσαν ταῖς ἐπιβάσεσιν· ἀλλὰ καὶ τοὺς χερσαίους ἡμᾶς καὶ ὃν ἂν εἴπῃς λόγον χερσομανοῦντας παραμυθοῦ ταῖς προσρήσεσι, καὶ τὰς ὡς ἀκάνθας συμπνιγούσας νόσους ἡμᾶς ὡσεὶ σκαπάναις ταῖς προσευχαῖς ἀνακάθαιρε.

## 4.

## Τοῦ Κερκύρας.

Τίνα με οἴῃ γενέσθαι, τὴν ἀπόφημον ἐμοὶ φήμην ἀκηκοότα περὶ τῆς σῆς ἁγιότητος; οὐχὶ ἡμιθανῆ; οὐχὶ τῷ πλείονι μέρει τεθνηκότα; οὐχὶ ἐξεστηκότα; οὐκ ἄφωνον; Ἀλλ' ὥσπερ ταῦτα ἐπάθομεν τὴν πικρὰν ἀγγελίαν

1) Ἐν τῷ κώδ. ἐξαρρωστίας.
2) Ἐν τῷ κώδ. τοῖς.
3) Πρβλ. Ἰεζεκ. λζ', 8.
4) Πρβλ. Ῥωμ. ιβ', 15.
5) Πρβλ. Ἰεζεκ. λζ', 11.
6) Ὁμηρ. Ὀδ. α, 50.

ἀκηκοότες, οὕτω τὰ χρηστότερα μαθόντες, εἴτουν τὴν θεοπάροχόν σου ὑγείαν, ἀνεπνεύσαμεν, ἀνερρώσθημεν καὶ ὡς ἐκ νεκάδων παλίμβιοι ἀνεδράμομεν. Καὶ εὐλογητὸς ὁ θεός, ὁ χαρισάμενος ἡμῖν τὴν σὴν ἁγιότητα· πολλὰ δὲ καὶ ἀγαθὰ γένοιντο καὶ τῷ πανευκλεεῖ αὐθέντῃ μου τῷ Δούκᾳ κῦρι Κωνσταντίνῳ, καὶ ὑπὲρ δύναμιν, ὡς πεπληροφόρημαι, σπεύσαντι εἰς τὴν νοσοκομίαν σου. Ἐγὼ δὲ καὶ νήφων καὶ ὑπνῶν σύνειμί σοι κατὰ ψυχήν, καὶ μήνυμά σοι στέλλω ὧν ποθεῖς, τὸ εὐκταιότερόν σοι καὶ ποθεινότερον. Καὶ τί τὸ μήνυμα; Ὑπνώττων ἐδόκουν συμπεριπατεῖν σοι ἐν τῷ περικλύτῳ ναῷ τῆς Ἁγίας Σοφίας, καὶ ἔλεγές μοι· «Ἐλθέ, ἵνα δείξω σοι τὰ ἐν τῷ πατριαρχείῳ κελλία». Εἰπόμην ἐγὼ ἕως τῆς πατριαρχικῆς καταμονῆς, καὶ ὑπέδειξάς μοι κελλία πεφωτισμένα τρία ἢ τέσσαρα τὸν ἀριθμόν, ὧν τὸ ἓν ἔλεγες δοθῆναί σοι παρὰ τοῦ πατριάρχου, τὰ δὲ λοιπὰ νεουργῆσαι αὐτός. Συνίεις τὸν σκοπὸν τοῦ ὀνείρου, ἢ ἐγὼ δηλώσω σοι τοῦτον; Ὁ πατριάρχης Ἀβραάμ, οὗ ὁ κόλπος πατριαρχικός ἐστι καὶ τῶν σῳζομένων ἀνάπαυσις, ὡς ἠκούσαμεν, δέδωκέ σοι ἐν τοῖς ἑαυτοῦ κόλποις ἀνάπαυσιν, ἣν αὐτὸς δι' ἀγαθοεργίας ἐπλάτυνας, καὶ εὑρήσεις ταῦτα κατὰ καιρόν· σὺ δὲ ψυχαγώγησον ἡμᾶς, διὰ γραφῆς διδάξας τὰ κατὰ σέ.

## 5.

### Ἀντίγραμμα πρὸς τὴν τοιαύτην γραφήν.

Ἐρωτᾷς ὅπως ἔχω· ἀνακομίζομαι, δέσποτα, τοῦ θεοῦ κρεῖττόν τι περιπροβλεψαμένου, ἵνα μὴ χωρὶς ἀγαθοεργίας τελειωθῶ· μαρτύρομαι γάρ, ὡς οὐδὲν ἀγαθὸν ἐμαυτῷ σύνοιδα. Καὶ πάντως ἀληθὴς ἐντεῦθεν ἐστὶν ὁ εἰπών, μὴ θελήσει θέλειν τὸν θάνατον τοῦ ἁμαρτωλοῦ[1]) ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Ζῶ γοῦν καὶ συνεύχου μοι τὴν ἐπιστροφήν, ἵν' ἐπιστρέψας πρὸς τὸ χρηστότερον ζήσω καὶ κατὰ τὸν σὸν ὄνειρον. Ὡς τό γε παρόν, οὐκ ἔχω τοῖς ὀνείροις πιστεύειν, ἕως ἐμαυτῷ συγγινώσκω ἅπερ σύνοιδα πονηρά, κἂν οἱ τῆς σῆς ἁγιότητος ὄνειροι τῆς ἐγκρατοῦς καὶ τῆς. . . . . .
. . . . . . . .

## 6.

### Πρὸς τὸν αὐτὸν Κερκύρας.

Ὁ παρὼν εἶπεν ἔρχεσθαι ἐκ Κερκύρας, ὑπὸ χεῖρα δὲ τοῦ Σαντζαρίου ἔφασκεν εἶναι· ἐγὼ δὲ ἄμφω οὐκ οἶδα· δοτέον δὲ καὶ εἶναι ὑφ' ὃν λέγει καὶ Κερκύροθεν ἔρχεσθαι, καὶ εἴ γε παλινστροφήσει καὶ τῇ νήσῳ ἔνδημος γέ-

---

1) Ἰεζεκ. ιη', 23.

νηται, τῇ σῇ μεγαλωσύνῃ ἐπιτέτραπται ἀναδοῦναι τὸ γράμμα μου. καὶ αἰτεῖται τὸ ἐπὶ... ...

7.

<Τοῦ Κερκύρας>.

.......................................................

τοῦ γυναικὸς φυλάττειν ὀφείλει τοῖς ἐξ αὐτῆς παισὶν πάντα τὰ εἰς αὐτὸν περιελθόντα ἀπὸ προικός, εἴτε ἀπὸ γαμιαίας δωρεᾶς, εἴτε ἀπὸ τελευταίας βουλήσεως, εἴτε αὐτὴ ἡ γυνὴ ἐπέδωκε τὴν προῖκα, ἢ ἄλλος ὑπὲρ αὐτῆς, ἢ καὶ τὰ μάλιστα κατὰ τὸ σύνηθες κατὰ τὴν χρῆσιν γινόμενον, αὐτὰ τὰ δωρηθέντα πρὸ τῶν γάμων αὐτῇ πράγματα πάλιν ἐπέδωκεν εἰς προῖκα ἡ γυνὴ τῷ ἀνδρί. Καὶ γὰρ κερδήσασα καὶ ταῦτα ἡ γυνὴ φυλάξει τοῖς ἐκείνου τοῦ γάμου παισίν, ἐπειδὴ ὅλως ἐξ ὑποστάσεως εἰσὶ τοῦ πατρός. Φυλάξασα οὖν ἡ μήτηρ τὰ ἐκ τοῦ πρώτου γάμου αὐτῇ καταλειφθέντα πράγματα παντελῶς ἀνακρωτηρίαστα, διανείμῃ [1]) τοῖς παισὶν αὐτῆς ἐπίσης, τοῦτο μὲν ὡς ἐνστάτοις κληρονόμοις, τοῦτο δὲ καὶ ὡς γνησίοις καὶ νομίμοις τέκνοις. Ὅθεν καὶ ἡ γυνή σου ἡ Καλή, ὦ Διαβατηνέ, ὡς νομίμως συναφθεῖσά σοι καὶ ὡς θυγάτηρ γνήσιος οὖσα τοῦ Μαρδαροπούλου ἐκείνου καὶ κληρονόμος ἴσως ταῖς ἄλλαις ἀναφυεῖσα, ἕξει καὶ αὕτη δικαίως τὴν ἰσοκληρίαν καὶ ἰσομοιρίαν ἀπὸ τῶν πατρικῶν αὐτῆς πραγμάτων. Ταῦτα πρὸς τὰ διηγηθέντα.

Ἡ ὑπογραφή.

Ὁ μητροπολίτης Κερκύρας Γεώργιος.

8.

Πρὸς τὸν μητροπολίτην Κερκύρας διά τι συνάλλαγμα παρ' αὐτοῦ ἱερολογηθὲν καὶ πέμπτου βαθμοῦ εὑρισκόμενον.

Πάλαι σοι βουλομένῳ γράψαι περὶ ὧν νῦν, γράψαι καὶ γνωρίσαι τὰ κατ' ἐμὲ πολυειδεῖς ἀρρωστίαι ἐκώλυσαν· τὸ γάρ μοι εὐώνυμον οὖς ἦχον ἠχεῖ βαρὺν ἔτος ἤδη δεύτερον παρελθόν, ὡς ἀγανακτῆσαί με κατηχούμενον, καὶ δυσουρία πιέζει καὶ ποδαλγία προσοδυνᾷ. Νῦν δὲ μικρόν τι τούτων ἀπολυθεὶς καὶ ἀναπνεύσας ἐλεύθερον, ἐκτίθεμαι τὰ συνενεχθέντα καὶ τῇ ἱερᾷ γνωρίζω σου κεφαλῇ. Γενομένων ἡμῶν ἐν κοινοβίῳ (ἦν δὲ ἡ ἡμέρα τῆς συνελεύσεως ἐπιφανὴς καὶ ἀθροίσιμος) καὶ παρόντων ἐπισκόπων καὶ

1) Ἐν τῷ κώδ. διανείμει.

μοναχῶν καί τινων ἑτέρων περὶ τοὺς νόμους ἐξηγουμένων, ἄλλα τε κεκίνηται ὑπὸ τούτων ἐπὶ τοῦ μεγάλου προβλήματος, καὶ δὴ καὶ τὸ προβὰν συνοικέσιον ἐπὶ τῷ κῦρι Ἰωάννῃ καὶ τῇ κυρᾷ Θεοδώρᾳ, οὓς πέμπτον ἔλεγον ἐπέχειν βαθμόν, ὡς αὐτοῖς κατεφαίνετο, καὶ δεῖξαι δύνασθαι ἔλεγον τὸ τοῦ συναλλάγματος ἐντεῦθεν ἀθέμιτον καὶ παρὰ τοῦτο κεκωλυμένον εἶναι ἐπισχυρίζοντο. Καὶ οἱ μὲν ἐπὶ τῷ πράγματι ἐδυσφόρουν καὶ ἠπίως πως τοῦ ἱεροπρακτήσαντος κατεμέμφοντο, ἕτεροι δὲ δριμυτέρως εἶχον ἐπὶ τῇ πράξει· ἐγὼ δὲ καὶ ἀμφοτέρων κατέψων τὰς γνώμας, καί σοι τιθέμενος, μὴ ἂν ἔλεγον ἄνδρα τοιοῦτον, τὸν ἐμὸν Κερκύρας, ἐν λόγοις μὲν ὑψηλόν, ἐν εἰδήσει δὲ τῶν ἱερῶν κανόνων καὶ τῆς ἐπὶ τοῖς συναλλάγμασι νομικῆς διατάξεως μηδενὸς ἐλαττούμενον, ποιῆσαι ἄλλως ἐπινεῦσαι τὸ γεγονός, εἰ μὴ λελυμένον ᾔδει τὸ τοιοῦτον συνάλλαγμα καὶ παρὰ τῶν νόμων ἐκκεχωρημένον καὶ τῶν κανόνων· οἱ δ᾽ αὐτίκα δραξάμενοί μου τοῦ λόγου καὶ κολακικώτερον μᾶλλον ἢ ἀληθέστερον τὸ ἴσον ἐπιμαρτυροῦντές μοι τῇ σῇ λογιότητι ἐπί τε συνέσει ἐπί τε τῶν τοιούτων εἰδήσει, τὸν τρόπον ἠρώτων τῆς τοῦ συναλλάγματος λύσεως, μηδὲ ἂν ἔλεγον ἄλλο τὸν Κερκύρας ἐπὶ τούτοις εἰδέναι καὶ ἄλλο ἐμέ, κακῶς νοοῦντες καὶ τὸ πᾶν ἀμαθῶς, εἴ γε σοῦ μὲν κλέος ἐν λόγοις καθ᾽ ὅσην ἥλιος ἐφορᾷ, ἐγὼ δὲ τοσοῦτον ἐλλείπω τῆς ἐν γνώσει σῆς ἀρετῆς, ὡς οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος οἱ πρὸς αὐτὸν βλέποντες. Ἀμέλει καὶ τὴν ἀπόκρισιν παρῃτούμεθα, καὶ τὸ ἐμὸν ἐν τοῖς τοιούτοις ἀνεπιστῆμον εἰς εὔλογον αὐτοῖς προὐβαλόμην ἀπολογίαν· καὶ οὐδ᾽ οὕτως ἤθελον ἡσυχάζειν, ἀλλ᾽ ἄλλος ἄλλο τι προκομίζοντες ἐγχειρίδιον ἠξίουν ἀναγινώσκεσθαι, καὶ πρῶτοι προὔφερον τὸ οἰκεῖον οἱ νομικοὶ καὶ τῇ πρωτογραφίᾳ τῶν νόμων εἰς δικαίωσιν ἀπεχρῶντο τοῦ πρώτως ὀφείλειν τὸ ἑαυτῶν βιβλίον ἀναγινώσκεσθαι· καὶ εἶχεν οὕτως ἡ περικοπὴ τοῦ περὶ κεκωλυμένων γάμων ἑβδόμου τίτλου· «ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, διανιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντας, καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις, ἕως οὗ ἐλθῶμεν[1]) πρὸς τὸ πρόσωπον, περὶ οὗ ἡ ζήτησις»[2]). Καὶ ἀνῆλθον ψηφίζοντες εἰς τὸν ἀοίδιμον σεβαστοκράτορα κῦριν Ἰωάννην τὸν Δούκαν, καὶ τὴν κυρὰν Θεοδώραν ὡς ἐγγόνην ἐκείνου δευτέρου ἔλεγον εἶναι πρὸς ἐκεῖνον βαθμοῦ, τὸν δὲ κῦριν Ἰωάννην τρίτου πρὸς τὸν αὐτὸν ὡς τῆς ἐκείνου γαμετῆς ἀδελφόπαιδα, καὶ συνεπέραινον εἰς ε′ βαθμὸν τὸ συνάλλαγμα καὶ παρὰ τοῦτο κεκωλυμένον εἶναι ἀπισχυρίζοντο, καὶ παρηγγυῶντο μὴ προφέρειν τέως ἐπὶ κοινοῦ τὰς ἐγκειμένας τοῖς νόμοις ἐπὶ τοῖς τοιούτοις

1) Ἐν τῷ κώδ. ἔλθομεν.

2) Πρβλ. Proch. auctum, τίτλ. η′ (ἐκδ. Zachariae σ. 71). Βασιλ. βιβλ. κη′, τίτλ. ε′, § 1 (ἐκδ. Heimb. 3, σ. 196).

ποινάς, κἂν αὐτοὶ καὶ τοῦτο ἐβίαζον. Οἱ δὲ καθ' ἡμᾶς ἱερατικοὶ πτωχοὺς τοὺς νομικοὺς ἀπεκάλουν τὰ εἰς σύστασιν τοῦ ἀνευλόγου (ὡς ἐδόκει τούτοις) τῆς πράξεως, ὡς μόνον τὴν νόμιμον ταύτην διαταγὴν καὶ μηδὲν πλέον ἐπὶ τοῦ μέσου προφέροντας· αὐτοὶ δὲ πλουσιωτέρας εἶπον ἔχειν τὰς παραστάσεις, ἐξ ὧν ἡ πρᾶξις ἐλέγχεται, καὶ συνεζήτουν τέως πρὸς ἑαυτούς, τίνος τάξιν ἐπέχει προσώπου ὁ κῦρις Ἰωάννης πρὸς τὴν κυρὰν Θεοδώραν, εἴ γε ἡ μὲν ἐκγόνη τοῦ σεβαστοκράτορος προσωμολόγηται, ὁ δὲ ἐξανέψιος ἢ τὸ ὅλον ἀνεψιός, ὡς οὗτοι συνελογίζοντο, φάσκοντες δὲ ὡς ἐπεὶ κατὰ θεῖαν φωνὴν οἱ συναπτόμενοι γάμῳ μία σάρξ εἰσίν· ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν [1]). Ἀνεψιὸς δὲ τῆς σεβαστοκρατορίσσης ὁ κῦρις Ἰωάννης, καὶ τοῦ ταύτης ἀνδρὸς ἄρα κατὰ τοῦτον τὸν λόγον· ὁ γὰρ θεῖος λόγος ἀρρήτως ἑνοῖ τὰ πρόσωπα, ἔλεγον, κἂν δύο φαίνωνται τὴν ὑπόστασιν· καὶ συνῆγον τὸν κῦριν Ἰωάννην θεῖον εἶναι τῆς συναφθείσης· μικρὸν καὶ τὸ Μωσαϊκὸν εὐθὺς ἐπὶ στόματος, «οὐκ εἰσελεύσει» φάσκον «πρὸς πάντα οἰκεῖον σαρκός σου» [2]), τοῖς σκληροῖς καὶ τὴν καρδίαν ἀπεριτμήτοις. Οἷς ὁ παλαιὸς νόμος εἰς πολλὰ συγκαταβαίνων [3]) ἐστὶ διὰ τὴν ἐκείνων παχύτητα, πῶς οὐ πλέον ἡμῖν ἐκείνων ἐρεῖ τις ἐπιτετάχθαι; Κἀκείνοις μὲν ἀπολύτως πρὸς πάντα οἰκεῖον σαρκὸς εἰσιέναι ἀπείρητο, ἡμῖν δέ φασιν οἰήσεταί τις ἐπιτετράφθαι τὴν ἀνεψιὰν εἰς γυναῖκα λαβεῖν; Οὔμενουν, ἔλεγον. Ἐκ τοῦ θειογράφου δὲ τουτὶ πορίζόμενοι καὶ περὶ τῶν ἐξ αὐτῶν τεχθησομένων <ἦλθον εἰς> [4]) συζήτησιν καί φασιν, ὡς ἐπεὶ ὁ ἀνὴρ θεῖός ἐστι τῆς γαμετῆς, τὰ ἐξ αὐτοῦ τῇ γυναικὶ τεχθησόμενα τί πρὸς τὸν σπορέα κληθήσεται; τέκνα ὡς ἐκ τῆς ὀσφύος αὐτοῦ, ἢ ὡς ἐξ ἀνεψιᾶς ἀνεψιαδοί; αὐτὴ δὲ ἡ τεκοῦσα καὶ ἔκγονα ταῦτα καλέσει καὶ ἀναλόγως ἀνεψιούς, ὡς τοῦ ταύτης θείου γεννήματα. Καὶ τὸ ζητούμενον στήσαντες οὕτω καθ' ἑαυτούς, τοῦ μεγάλου Βασιλείου κανόνα προὐκόμιζον, οὗ τὰς φωνὰς θεοῦ φωνὰς τῇ Ἐκκλησίᾳ λαληθείσας ἔλεγον εἶναι, ὡς καὶ τὰ βάθη τοῦ πνεύματος ἐρευνήσαντος κατὰ τὴν θεολόγον φωνὴν [5]). Τοῦτον εἶπον τὸν θεῖον πατέρα περὶ ἀθεμιτογαμίας διαλεγόμενον δοῦναι γνώμην ἐπίτομον, ἐν ᾗ τὰ τῶν ἀθεμίτων γάμων ῥαδίως τῶν νομίμων διακριθήσεται, ἐν οἷς λέγουσαν συγχέονται τὰ ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος [6])· καὶ συνῆγον ἐκ τῶν εἰρημένων τὴν πρᾶξιν εἶναι ἀθέμιτον διὰ τὴν τῶν ὀνομάτων

---

1) Ἐφεσ. ε', 31.
2) Λευιτ. ιη', 6.
3) Ἐν τῷ κώδ. συγκαταβαῖνον.
4) Προσθήκη ἡμετέρα.
5) Γρηγόριος Θεολόγος ἐν τῷ εἰς Βασίλειον ἐπιταφίῳ § ξε'. Migne τ. 36, σ. 584.
6) Ἐκ τοῦ τόμου τοῦ Σισιννίου. Ὅρα Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. 4, σ. 14.

πολυμερῆ, ὡς ἔλεγον, σύγχυσιν. Πλεονεκτοῦντες δὲ τοὺς νομικούς, ὡς ὑπέσχοντο, τοῖς οἰκείοις λόγοις καὶ ταῦτα συνεπεστοίβαζον, ὡς οἱ νομοθέται μὴ οἷόν τε ὂν αὐτοῖς ἕνα ἕκαστον κεκωλυμένον βαθμὸν τῶν ἐκ πλαγίου περιλαβεῖν ἐπήγαγον γενικῶς· «Ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ σεμνὸν καὶ τὸ φύσει δίκαιον ζητοῦμεν» [1])· καὶ ἀφῆκαν τοὺς βουλομένους σκοπεῖν, εἰ εὐπρεπὲς τὸ γεγονὸς καὶ σεμνὸν καὶ δίκαιον φύσει, ἀλλὰ μὴ μᾶλλον τῶν ἐναντίων ὀνομάτων ἐπάξιον. Ἐπιχειροῦντες δὲ ἐκ τοῦ μᾶλλον, καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις Σισινίου προέφερον οὕτω πως μετὰ τὸ προοίμιον ἔχοντα· «Ὁ πρὸς τὸν ἡμέτερον πόλεμον εὔζωνος μαχητὴς καὶ τοῦτο λαθὼν ἐπεισήγαγεν, ὥστε πολλοὺς ἐν οὐδενὶ τίθεσθαι, ἀδελφοὺς ὄντας εἰς γάμον ἑαυτοῖς δύο ἐξαδέλφας λαμβάνειν, τοῦτο δὲ καταφανῶς καὶ ἀνεπικωλύτως μετὰ καὶ ἱερολογίας ποιεῖν, ἢ δύο τισὶν ἀδελφαῖς ἐξαδέλφους αὖθις ὡς ἐπὶ νομίμῳ γάμῳ συζεύγνυσθαι, ἢ θεῖον καὶ ἀνεψιὸν ἀδελφαῖς συνάπτεσθαι δυσίν, ἢ ἀδελφοὺς δύο τὸ ἔμπαλιν θείᾳ καὶ ἀνεψιᾷ· τὸ δὲ τοιοῦτον ἄτοπον τῷ τοῦ γάμου σεμνῷ κατοχυρωθὲν ὑβρίζειν τὴν φύσιν ἐλάνθανε. Διὰ τοῦτο ἡ μετριότης ἡμῶν τοῖς ἀθεμίτοις περιαλγοῦσα συνοικεσίοις, μετὰ τῆς ἱερᾶς τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνδιασκεψαμένη συνόδου, ἐδοκίμασεν εἶναι λυσιτελὲς» καὶ τὰ ἑξῆς [2]). Καὶ ὁρᾶν εἶπον ἀποτεινόμενοι πρὸς ἡμᾶς, ὡς ὁ τόμος οὗτος πρώτως μὲν τὸν ἕκτον, δευτέρως δὲ καὶ τὸν πέμπτον ἐκώλυσεν· ἐν οἷς γάρ φησι τὸ τοὺς «πολλοὺς ἐν οὐδενὶ τίθεσθαι ἀδελφοὺς ὄντας εἰς γάμον ἑαυτοῖς δύο ἐξαδέλφας λαμβάνειν, ἢ δύο τισὶν ἀδελφαῖς ἐξαδέλφους αὖθις ὡς ἐπὶ νομίμῳ γάμῳ συζεύγνυσθαι», τὸν ἕκτον προδήλως κωλύων εὑρίσκεται, ἔνθα δὲ «ἀδελφοὺς δύο θείᾳ τε καὶ ἀνεψιᾷ», πάντως τὸν πέμπτον. Καὶ παρεβιάζοντο ἄχρι τέλους ἀναγνωσθῆναι τουτὶ τὸ ὑπόμνημα· διὰ τὴν ἐγκειμένην τῷ τέλει τῆς πράξεως καὶ κατὰ τῶν οὕτω γαμούντων καὶ κατὰ τῶν ἱερολογούντων βαρύτητα τὴν ὁλοτελῆ ἀνάγνωσιν ἡμεῖς ἐκωλύσαμεν. Ἔτι προὔφερον καὶ σημείωμα ἕτερον ταύτην ἔχον ἐπιγραφήν· «Ψῆφος τοῦ πατριάρχου κῦρι Μιχαὴλ περὶ γάμου κεκωλυμένου [3]). Ἀκήκοεν ἡ μετριότης ἡμῶν, εὐκλεέστατε, παρὰ Λέοντος τοῦ Κρομνίτου [4]) γαμικὸν προβῆναι συνάλλαγμα, ἀναίσχυντον τὴν ἀνομίαν ἐπισυρόμενον. Λέων γάρ φησι καὶ Νικηφόρος ἀδελφοί· τούτων ὁ μὲν Λέων γεννᾷ τὴν Καλήν, ὁ Νικηφόρος δὲ τὸν Γεώργιον. Εἶτα συνέρχεται πρὸς γάμου κοινωνίαν ἡ Καλὴ τῷ Μιχαὴλ καὶ ὁ Γεώργιος, ὁ ταύτης ἐξάδελφος, γαμεῖ

1) Πρβλ. Σύνταγμα, τ. 4, σ. 13.
2) Σύνταγμα, τ. 4, σ. 14.
3) Αὐτόθι σ. 45.
4) Οὕτως ἐν τῷ κώδικι, ἐν δὲ τῇ ἐκδόσει Κρεμνίτου.

Εἰρήνην τὴν τοῦ Μιχαὴλ ἀδελφήν, ὡς συμπλακῆναι δύο πρώτων ἐξαδέλφων γάμον πρὸς δύο ἀδελφοὺς ἑτέρου γένους· ὅπερ δὴ πάντη καὶ τοῖς πολιτικοῖς νόμοις καὶ τοῖς ἱεροῖς κανόσιν ἀπαράδεκτόν ἐστι· κωλύονται γάρ φησιν ὁ νόμος πρὸς γάμου κοινωνίαν ἀδελφοὶ ἐξάδελφοι καὶ οἱ ἐκ τούτων καταγόμενοι καὶ μόνον. Ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἔστι τις κώλυσις· τοῦτο γοῦν τὸ τὶς μερικὴν ἐπάγον [1]) τὴν κώλυσιν οὐκ εἰς ἀπέρατον ἐξικνεῖται, ἀλλ' ἐπὶ μὲν τοῦ αὐτοῦ γένους καὶ ὁ τοῦ ἑβδόμου βαθμοῦ κωλύεται γάμος· οὐ γὰρ <δύναται> [2]) δισεξάδελφος [3]) τὴν τρισεξαδέλφην γαμεῖν, κἂν ὁ τῶν τρισεξαδέλφων γάμος οὐκ ἀπειρημένος ἐστί· πρὸς δὲ τοὺς ἐξ ἀγχιστείας [4]) καὶ ὁ ἕβδομος συγχωρεῖται βαθμός. Ἐπὶ τοῦ προσαγγελθέντος [5]) συνοικεσίου ἕκτος εὑρίσκεται βαθμός· ἡ μὲν γὰρ Καλὴ πρὸς τὸν Γεώργιον πρῶτοι ὄντες ἐξάδελφοι τέταρτον ἔχουσιν πρὸς ἀλλήλους βαθμόν, ὁ δὲ Μιχαὴλ πρὸς τὴν Εἰρήνην δύο ἐπέχει βαθμούς, ἅτε ἀδελφὸς ὢν ταύτης, καὶ οὕτως ἕκτου βαθμοῦ συναγομένου κωλύεται τὸ συνοικέσιον τῆς Εἰρήνης· ὃ δὴ καὶ αὐτὸς ὁ λογιώτατος ἢ μὴ γενόμενον κώλυσον, ἢ γενόμενον διάλυσον, εὑρίσκων τοῦτο κατὰ τὴν προσαγγελίαν τοῦ Λέοντος τῷ ἕκτῳ περικλειόμενον· καὶ μηδὲν φοβηθῇς· πολλοὺς γὰρ ἔχεις τοὺς συναιρομένους σοι τοῦ ἔργου, καὶ πολιτικοὺς νόμους καὶ ἱεροὺς κανόνας, καὶ αὐτὸν τὸν νεαρὸν τόμον καὶ νόμον τοῦ ἀειμνήστου καὶ ὁσίως ἀναπαυσαμένου κῦρι Σισινίου τοῦ πατριάρχου».

Τούτων οὕτως ἐχόντων, οἱ τῶν πραγμάτων προκομισταὶ τὴν ἕως καὶ δεῦρο πρὸς ἡμᾶς αἰδῶ εἰς περιφρόνησιν ἔτρεψαν, ὡς ὑπερλαλούντων ἡμῶν τῆς σῆς ἁγιότητος καὶ τὴν ἐπὶ τῷ συνοικεσίῳ πρᾶξίν σου μὴ δυναμένων κακηγορεῖν διὰ τὸ πρὸς σὲ ἡμέτερον καὶ φίλιον καὶ σεβάσμιον· καὶ πρὸς ἀλλήλους ὑπεψιθύριζον καὶ ἀλαλήτως πως ἡμῶν κατεμέμφοντο, ὡς οὐκ ἔργῳ μὲν καταθέσει δὲ καὶ σιγῇ κοινωνούντων σοι ἐπὶ τῇ δῆθεν ἀθεμιτοπραξίᾳ τοῦ γάμου, ὡς τούτοις δοκεῖ. Καὶ πάλιν ἠρώτων με περὶ τούτου, ἐγὼ δὲ τὴν προτέραν ἀπολογίαν ἀπελογούμην αὐτοῖς καὶ τὸ μὴ ἐγκύψαι ταῖς περὶ τούτων βίβλοις ἀπεκρινόμην· ἀλλ' ὡς μὴ δοκοίην ἀνήκουστος πάντη τοιαύτης ὁποιασοῦν πράξεως, ἄγραφόν τι προὐβαλόμην ἐπὶ τοῦ μέσου, ὡς κἂν τούτῳ καταπαύσαιμι τὴν μετὰ βίας τῶν ἀντιθέτων τῆς ἀποκρίσεως ζήτησιν. Ἔφην οὖν, ὡς ἦν ποτε νεοταγὴς ἐν τοῖς τοῦ πατριάρχου ὑπογραφεῦσι καὶ προὐκάθισεν ὁ τῆς ὁσίας μνήμης ἁγιώτατος πατριάρ-

1) Ἐν τῷ κώδ. ἐπάγων.
2) Τὸ δύναται ἐλήφθη ἐκ τῆς ἐκδόσεως.
3) Ἐν τῷ κώδ. δυσεξάδελφος.
4) Ἐν τῇ ἐκδόσει: ἐκ πλαγίου.
5) Ἐν τῷ κώδ. προσανελθόντος.

χης κῦρις Νικήτας ὁ Μουντάνης καὶ περὶ αὐτὸν ἡ θεία σύνοδος ἔνθα καὶ ἔνθα, καὶ ἦν τὸ συνέδριον πολυάνθρωπον καὶ ἀνῆλθεν ἢ ἀνήχθη ὁ πατριάρχης ἐκεῖνος κῦρις Βασίλειος ὁ Καματηρὸς καὶ ἔστη ἐπὶ τοῦ μέσου, καὶ θάμβος εἶχε πάντας καὶ ἔκπληξις, ὡς πηλίκος ἀνὴρ καὶ γένει καὶ λόγῳ κατάκριτος ἵσταται· ὁ δὲ τῷ ἐδάφει τοῦ συνεδρίου ἐρείδων τοὺς ὀφθαλμοὺς ἕν τι τῶν ἀγαλμάτων ἐδόκει διὰ τὴν μακρὰν σιωπήν. Ἠρωτᾶτο γάρ, πῶς καὶ τίνι λόγῳ ἐπέτρεψε τὸ συνάλλαγμα τὸ μέσον τῆς θυγατρὸς τοῦ βασιλέως κῦρι Ἀνδρονίκου καὶ τοῦ υἱοῦ τοῦ βασιλέως κῦρι Μανουήλ, ὃς ἐκ τῆς τοῦ Χαλούφη γυναικὸς ἐκείνῳ γεγέννηται, καὶ ἔλεγον πρώτους ἐξαδέλφους εἶναι τοὺς βασιλεῖς καὶ τετάρτου βαθμοῦ, τοὺς δὲ ἐξ αὐτῶν ἕκτου· καὶ ἠτιῶντο τὸν χρηματίσαντα πατριάρχην κῦριν Βασίλειον ἐκεῖνον καὶ κραταιῶς ἐκείνου διὰ τὴν πρᾶξιν καθήπτοντο. Ὁ δὲ ἐπὶ πολὺ ἐρωτώμενος ἐσιώπα, καὶ τέλος ἡ σύνοδος καὶ ὁ πατριάρχης οὕτω πως ἀνεφώνησαν, ὡς «Ἡμεῖς καὶ τὸ συνάλλαγμα διασπῶμεν καὶ τὸν ποιήσαντα κατακρίνομεν»· καὶ ἐξεβλήθη τοῦ συνεδρίου ὁ θαυμαστὸς ἐκεῖνος ἀνήρ. Τοῦτο λεχθὲν κατέστειλε τὴν τῶν ἐρωτώντων θρασύτητα· καὶ πάντως κατὰ τὴν ἐμὴν πρὸς τούτους ὑπόσχεσιν γράψαι ἔχεις ἡμῖν τὸν τρόπον τῆς τοῦ συναλλάγματος λύσεως, ἵν' ἐμφραγῶσι καὶ γνῶσι τὸ ἀπ' ἐκείνου, ὡς πρὸς ἄνδρα ἔχουσι, τὸν Κερκύρας, μηδὲν τοιοῦτον ἀπερισκέπτως διενεργούμενον· τί δὲ χρὴ τιθέναι ἄρτι εἰς μέσον, εἴ γε τὰ σὰ ἐμὰ καὶ τὰ ἐμὰ σὰ (κατὰ τὴν τοῦ Κυρίου φωνήν [1]) καὶ ἀντιδοξαζόμεθα ἐν αὐτοῖς. Καὶ τὸ ἐπαχθέν μοι παρὰ τούτων χαυνότατον κατηγόρημα, ὡς «Ἵνα τί σου ζῶντος καὶ ἐπαρχεώτου [2]) ὄντος μητροπολίτου νησιώτης ἀρχιερεὺς πέραν θαλάσσης, ὃ δὴ οὐ κανονικόν, περᾷ καὶ ἱεροπραξίας διενεργεῖ ἐπισκοπικάς, καὶ σὲ [3]) παρορᾷ ὡς ἄχρηστόν τι σκεῦος ἐν γωνίᾳ παρερριμμένον»; πρὸς ἣν αἰτίασιν τούτων οὐδ' ἀνοῖξαι χεῖλος ἠθέλησα, καθότι οὐδὲ αὐτὸς ὁ ἐμὸς Κερκύρας τὸν Ἠπειρώτην ἐμὲ ἐν τῇ νήσῳ αὐτοῦ, ἂν ἄρα τούτου δεήσειεν, ἱεροπρακτῆσαι κωλύσειεν· εἰ γὰρ τὰ τῶν φίλων κοινά [4]), ἔτι μᾶλλον τὰ τῶν ἐν πνεύματι ἀδελφῶν, καὶ ἔοικεν ἀγνοεῖν τοὺς ταῦτα αἰτιωμένους ἢ χαριζομένους ἐμοί, ὡς εἰς ἕνα ψυχῆς μυελὸν ἀμφότεροι συνεκράθημεν [5]). Ἀλλ' ἔρρωσό μοι καὶ σῴζοιό μοι εἰς ψυχῶν σωτηρίαν, εἰς καύχημα ἡμῶν καὶ τῶν κανονικῶν ἐθίμων καὶ φυλακὴν καὶ συντήρησιν.

Ἡ βίβλος πρὸς ἡμᾶς ἐπαναστραφήτω· ἀρκούντως γὰρ ἀπεδήμησεν·

---

1) Ἰωάν. ιζ, 10.
2) Ἐν τῷ κώδ. ἐπαρχεότου.
3) Ἐν τῷ κώδ. σύ.
4) Πρβλ. Πλάτωνος πολιτ. δ', σ. 424 A.
5) Πρβλ. Εὐριπίδην ἐν Ἱππολύτῳ στίχ. 255 Dind.

ἀλλ' εἴθε ἄσπιλος καὶ καθάρειος, οὐδὲ γὰρ πρέπει τὴν ὅλην καθαρὰν διὰ τὰς ἐν αὐτῇ περὶ τοῦ παναγίου πνεύματος πραγματείας[1]) μολυσμοὺς τῷ σώματι ἐπιφέρεσθαι.

## 9.

## <Τῷ Κερκύρας>.

«Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με»[2]), αἱ μὲν ἀπὸ τοῦ κατὰ Ναύπακτον τυραννοῦντος, αἳ δ' ἐκ ποικίλων ἀρρωστιῶν, καὶ τρίτη πρὸς χοῦν θανάτου κατήγαγέ με[3]), ἄκουσμα δηλονότι τέως τῇ ἐμῇ ἀκοῇ καὶ πάνυ δυσπρόσιτον, ὡς ὁ Κερκύρας περὶ τὴν τοῦ Μαΐου πεντεκαιδεκάτην ἐξ ἀνάγκης τεθνήξεται. Φήμη γὰρ ἤγγειλεν, ὡς νεανίας τις Κερκυραῖος ἢ νοσήσας τὰ ἔσχατα, ἢ καὶ γενόμενος ἐκφρενὴς (ταῦτα δ' οὐ σάφα οἶδα ἐγώ), μεθ' ἡμέρας ἀνένηψε καὶ θεάματα φοβερὰ ἐξηγήσατο καὶ ὑποχθόνια δείματα[4]), μητροπολίτης ταῦτα ᾐωρημένος καὶ τιμωρούμενος ὑπὲρ ὧν ἐν γῇ θεῷ πεπαρῴνηκε, καὶ ὡς ἥδε καὶ ὅδε[5]) κατὰ ῥητὰς ἡμέρας τεθνήξονται, καὶ μετ' αὐτοὺς ὁ μητροπολίτης κατὰ τὸν ανα<καλ>υφθέντα[6]) καιρόν, καὶ ὡς κατὰ τὸν προφοιβασμὸν τοῦτον καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ κατὰ τὰς λαληθείσας ἡμέρας βίον τὸν ἐν ἡμῖν ἐξεμέτρησαν· καὶ τὸ ἀπόκριμα τοῦ θανάτου καὶ ὁ μητροπολίτης λαβὼν τῷ πλείστῳ μέρει καὶ πρὸ τοῦ τέλους ἐκλείπει, σκορπίσας μὲν τὴν πᾶσαν οὐσίαν, αὐτὸς δὲ κάθηται τὴν τελευτὴν ἀναμένων, ὡς εἰς ἐκτομὴν ἀπαγόμενος. Ταῦτα τίς οὐκ ἂν βαρέως[7]) ἐδέξατο, σὲ γινώσκων καὶ τὴν σὴν ἀρετήν; ποίαν δὲ ψυχὴν οὐ κατέκαμψεν ἢ καὶ ἀποπτῆναι τοῦ σώματος κατηνάγκασεν; ὅτι τὸ τῆς ἀρετῆς ἄνθος, ἡ παντὸς ἀγαθοῦ ξυμφόρησις καὶ μισγάγγεια, τὸ πρωὶ ἀνθῆσαν[8]), τὸ ἑσπέρας ξηραίνεται, καὶ κατὰ τὰ Λοκρὰ ῥόδα ἄρτι προκύψαν ἐκ κάλυκος[9]) (οὕτω γὰρ δέον καλεῖν τὴν σὴν χθὲς ἐμφάνειαν καὶ τὸν σὸν κηπευμὸν εἰς τὸν ἐπισκοπικὸν λειμῶνα καὶ τὸν τῆς ἱερωσύνης θεῖον παράδεισον), σήμερον—ὢ πονηρᾶς ἀκοῆς ταύτης—ἀπανθεῖ καὶ μαραίνεται. Προσηύξησε δέ μοι τὸ πάθος καὶ ἡ τοῦ ἐξ Ἀθηνῶν μοναχοῦ ἐν τοῖς αὐτόθι ἐπιμονή[10]), τεκμηραμένῳ

---

1) Ἐν τῷ κώδ. πραγματίας.
2) Ψαλμ. ριη', 143.
3) Πρβλ. ψαλμ. κα', 16 «καὶ εἰς χοῦν θανάτου κατήγαγές με».
4) Ἐν τῷ κώδ. δείγματα.
5) Ἐν τῷ κώδ. ἥδε καὶ ὧδε.
6) Ἐν τῷ κώδ. ανα . . . υφέντα.
7) Ἐν τῷ κώδ. βαρε (with ως written above).
8) Ἐν τῷ κώδ. ἀνθεῖσαν. Πρβλ. Ψαλμ. πθ', 6.
9) Πρβλ. Λυκόφρ. στ. 1329 «Λοχρὸν δ' ὁποῖα παῦρον ἀνθήσας ῥόδον».
10) Ἐν τῷ κώδ. ἐπιμονῇ.

μὴ ἂν ἄλλως χρονοτριβεῖν ἐν τῇ Κερκύρᾳ τὸν μοναχόν, εἰ μή, τοῦ λόγου τάχα ὄντος πιστοῦ, αὐτὸν ἀναμένειν ἰδεῖν τὸ ἀποβησόμενον. Ἀλλ' ἀνήγαγόν με ἀέλπτως ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος [1]), οἷς ἐκινδύνευον ἐμπαγῆναι, γράμμα τε σὸν καὶ γραμματοφόρος οὗτος, λόγιος ἄνθρωπος· καὶ νῦν ζῶ καὶ συλλέγω νοῦν, ὃν εἶχον ἐσκορπισμένον τῷ πάθει, καὶ χάρις θεῷ τὰ πρῶτα, ὅτι τὸ τῶν χειρῶν ἡμῶν ἔργον κατεύθυνε πρὸς ζωήν [2]). κατευθύνοι δὲ καὶ πρὸς ἑαυτὸν διὰ ζωῆς ἐναρέτου καὶ ἀξιοπρεποῦς πολιτεύματος, καὶ χαρίσαιτο χρόνους τῷ καλλίστῳ τῶν ἐμῶν ἔργων, ᾧ γέγηθα κἀπιλήθομαι κακῶν [3]) καὶ τοῖς τὰ μεγάλα κατωρθωκόσιν [4]) ἐμαυτὸν συντάττω διὰ τὴν πρόσκρισιν, διὰ τὸν ψῆφον, διὰ τὴν χρῖσιν. Ταῦτά με καὶ εἰς θερμότητα ἤγαγε, τοῦ στεῖλαι τὸν σὸν ἔλλογον πόνον «εἰς ἀκοὴν ὠτίου» [5]) τῶν ἐν Ἀσίᾳ συμπρεσβυτέρων, ἵν', ὡς ἀπήλαυσα τοῦ ἁγιασμοῦ ἐκ τῆς σῆς κεφαλῆς καὶ τῆς χρίσεως, καὶ τῶν ἐκεῖσε κρότων συμμετάσχω καὶ τῶν ἐπαίνων· θαῤῥῶ γὰρ τοὺς ἀκουστὰς ὑποκρούσασθαι, ὡς εἰ καὶ μὴ καλὸς ὁ Ναυπάκτου, ἀλλὰ πράττειν οἶδε καλῶς. Αὗταί μοι αἱ ἐλπίδες οὐκ ἐλλιπεῖς, ὡς ἐτυμολογοῦσι γραμματικοί [6]), ἀλλ' ὑποστάσεις ἐλπιζομένων, ὡς ἡ θεία λέγει Γραφή [7]). Εἶεν. Ὅτε δὲ κατέβην εἰς Βόνδιτζαν, ὅτε τοῖς ἐξ Ἀνατολῶν ἐνέτυχον πρέσβεσι, δίχα τοῦ πνέειν καὶ βλέπειν βραχύ, κατὰ τὸν Εὐριπίδου Ὀρέστην [8]), τὰ πάντα ἤμην νεκρός· διὸ συνετέθη [9]) μοι ἠμελημένος ἀπόλογος πρὸς τὴν ἐξ Ἀσίας γραφὴν καὶ χάριν οὐδεμίαν ἔχων ἐνθυμημάτων, οὐ λέξεων, σὴν δὲ χάριν, ἐπεὶ ἐκέλευσας, ἔσταλται [10]). Οὐκ ἔστι γὰρ οὐδὲ ἔοικεν, ὡς ῥαψῳδήσω μικρόν [11]), τεὸν ἔπος ἀρνήσασθαι· σὺ δὲ μὴ πρὸς τὴν ἐν λόγοις σὴν ἀρετὴν τὴν ἐμὴν ἀπόκρισιν ἀντιβάλῃς, ἀλλὰ πρὸς τὰ τῆς φιλίας μέτρα συνήθως ἰδών, τούτοις σύγκρινον τὸ γραφέν. Ἄλλως τε καὶ ἐν ταῖς ἁπλαῖς ἀπολογίαις οὐ δεῖ κομψεύεσθαι φήσεις, οἶδας τοῦτο καὶ σύ, ἡ τῶν λόγων στάθμη καὶ τῆς σοφίας κανών· τί δὲ καὶ προβαλεῖται ἐπαινετὸν νοῦς γέροντος δειλοῦ καὶ ἀνάνδρου καὶ καθ' ἑκάστην [12]) ὡς εἰπεῖν ἀποθνήσκοντος τὴν ἡμέραν; Ἔῤῥωσό μοι καὶ προσρήσεις χαρίζου μοι.

1) Πρβλ. ψαλμ. λθ', 3.
2) Πρβλ. ψαλμ. πθ', 17.
3) Εὐριπ. Ορ. 66 Dind.
4) Ἐν τῷ κώδ. κατορθωκόσιν.
5) Ψαλμ. ιζ', 45.
6) Πρβλ. Etymol. Gudianum, σ. 182, 10—15.
7) Ἑβρ. ια', 1.
8) Εὐρ. Ὀρ. στ. 155 «ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστενάζει».
9) Ἐν τῷ κώδ. συντέθη.
10) Νοητέον ὧδε τὸ γράμμα, οὗ ἡ ἀρχή· «Ὅτε ὁ ῥαιφερενδάριος». Βυζαντινὰ Χρονικά, τ. 3, σ. 270—278.
11) Ἰλιάδ. Ξ, 212.
12) Ἐν τῷ κώδ. καθεκάστην.

## 10.

## <Τῷ Κερκύρας>.

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . συλλέξας τὸν τοῦ Περόζου βυθοδρόμον ἀπομιμήσωμαι, καί σε τὸν εὐμεγέθη μάργαρον καὶ τὸν στίλβοντα ὡς ἐξ ὀστρέου τῆς νήσου καὶ ἀφαρπάσω καὶ ἀνελκύσω καὶ ἐμαυτῷ οἰκειώσωμαι, κἂν οἱ παρατηροῦντές σε ἀνθρωπόμορφοι κύνες οὐχ ὡς ἀγαπῶντες, ὡς τὸν ἱστορούμενον μάργαρον ἐκεῖνον ποτὲ τὸν θαλάσσιον, ἀλλ' ὡς μισοῦντες μᾶλλον καὶ ὡς ἐχθραίνοντες διασπαράξωσί με καὶ διατέμωσιν. Εἶεν. Αἱ δεξιώσεις σου δὲ φιλοφροσύνης μοι ἔδοξαν νοῦν ἔχουσαι· εὐξαίμην δ' ἂν μήτε τῆς ἐνδεχομένης ἐννοίας ἐπὶ ταύταις διαπεσεῖν καὶ τῆς πρεπούσης εἰκοτολογίας καταστοχάσασθαι. Λέγω δέ, ὡς τὸ μὲν σταλέν σου θυμιατήριον τῆς ἐν σοὶ πνευματικῆς εὐωδίας τεκμήριον, ὁ δὲ περικεχυμένος τούτῳ χρυσὸς καὶ ἡ ἐκ τούτου τηλαύγεια τῆς σῆς κατὰ ψυχὴν λαμπρότητος σύμβολον· γνοὺς δὲ ὡς λῦπαι μοι δαψιλεῖς ἐκ νόσων, ἐκ περιστάσεων, δέδωκας οἶνον, πληρῶν τὴν Γραφήν[1]), καὶ τοῦτον γλυκάζοντα· οἰκειότερον γὰρ τῇ προσδοχῇ τὸ γλυκύ, καὶ ἂν κατεβρόχθισα εὐθὺς ἐξ αὐτοῦ, εἰ μὴ κεκακωμένον ἔχων τὸν στόμαχον χαυνῶσαι τοῦτον ἔμελλον μᾶλλον τῇ τοῦ γλυκάζοντος χαλαρότητι. Καὶ σὺ μὲν ἐποίησας ὡς σοφός, ἐγὼ δὲ λάχανα ἐσθίειν ὡς ἀσθενὴς κελευόμενος, τὰ τῶν τροφῶν δηλονότι λεπτότερα ὡς ἀπέριττα, τῶν παχυτέρων καὶ ποτῶν καὶ βρωμάτων ἐκ τοῦ ἀναγκαίου κεκώλυμαι· τοῦ δὲ ἰατρικωτάτου Ἱπποκράτους ἀφοριστικῶς ἀποφαινομένου πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμά[2]), ἡμεῖς δὲ σὲ τοὺς σταλέντας ὠμοὺς μαχαίρᾳ κεκινήκαμεν πέπονας, εἴτουν φαγόντες τούτους ἐφθείραμεν· κίνησιν δέ, ὡς οἶσθα, καὶ τὴν φθορὰν ἐν τοῖς περὶ κινήσεως ὁ Ἀριστοτέλης ὠνόμασε[3]). Τί δέ σοι καὶ τὸ ἐκ μαλλοῦ ὑπόστρωμα βούλεται, ἢ ὅτι σὺ μὲν ὑψηλολογῶν τὰ ἐμὰ καὶ ὡς σκηνήν με πλάττεις θεοῦ, καὶ τρίχας ταύτας προσφέρεις τῇ ταύτης διασκευῇ; Ἐγὼ δὲ οὐχ οὕτω χαῦνός εἰμι, οὐδὲ ταῖς σαῖς παρακρουόμενος ἴυγξιν, ὡς μὴ τῆς ἐμῆς χθαμαλότητος τὸ ὑπόστρωμα τοῦτο ἡγεῖσθαι σημαντικὸν καὶ τῆς περὶ τὰ χαμαὶ καὶ τὰ εὐτελῆ ῥοπῆς τε καὶ ἐπικλίσεως. Τί δὲ μαλλοῦ εὐτελέστερον; τί δὲ τριχὸς ταπεινότερον; Ὅμως καὶ ἀσπαστέα μοι ταῦτα καὶ προσκυνήσεως ἄξια, οὐχ ὅτι τοιαῦτα, ἀλλ' ὅτι σά, ἀλλ' ὅτι ἐκ σοῦ. Δυσωπῶ τὴν ἁγιωσύνην σου ἔχειν τὸν παρόντα σοι

---

1) Πρβλ. Παροιμ. κδ', 74.
2) Πρβλ. Ἀριστ. σ. 201ª Berol.
3) Ἀριστοτ. σ. 225, 32ª Berol.

κληρικόν σου καὶ φιλανθρώπως καὶ εὐμενῶς· ἐγένετο γὰρ παιδίον νηπιόθεν ἐμόν, καὶ πολλὰ τὰ εἰς ἐμὲ θεραπευτικὰ ὁ πάππος τούτου ἐνεδείξατο καὶ ἡ μάμμη, ἡνίκα νεάζων μὲν ἦν ἐν διακόνοις ἐγώ, ὑπεδρήστευον δὲ ἐν γραφαῖς τῷ θείῳ μου ἐκείνῳ τῷ Ναυπάκτου, τῷ Μανασσῇ. Ἔτυχον δὲ νοσήσας παρὰ τῇ παππάρχῳ[1]) τοῦ παρόντος κληρικοῦ σου οἰκίᾳ, οὔσῃ ἐν αὐταρκείᾳ καὶ εὐθηνίᾳ βιωτικῇ. Καὶ μετ' ἐκείνους ὁ τούτου πατὴρ ἐπισκοπήσαντά με πολλὰ ἐθεράπευσε, καὶ ἐπεὶ τὸ παιδίον ἐξετοπίσθη καὶ προσήλυτός ἐστιν ἐν Κερκύρᾳ, ὁ Κερκύρας ἐγώ, ὡς ὁ Κερκύρας Ναυπάκτου, ἐχέτω διὰ θεὸν προνοητικὴν ἐπὶ τούτῳ καὶ πατρικὴν ἐπιμέλειαν.

Εν Π/πόλει, 26 Νοεμβρίου 1905.

Ἀ. Παπαδόπουλος-Κεραμεύς.

1) Ἐν τῷ κώδ. τῶ παππάρκα.